γικὸν τῆς ψυχῆς ἄρχεται διαρθροῦν, *ὥσπερ καὶ διαπλάττειν καὶ τῶν μαθημάτων ἐντιθέναι σπέρματα τινὰ καὶ στοιχεῖα, τῶν τε ἠθῶν καὶ τῶν ἐπιτηδευμάτων ἐκφαίνειν τὰς ἰδιοτροπίας, διδασκαλίαις ἤδη καὶ παιδαγωγίαις, καὶ τοῖς πρώτοις γυμνασίοις, ἐγείρων τὰς ψυχάς. ὁ δὲ τῆς ♀, τὴν μειρακιώδη καὶ τρίτην ἡλικίαν παραλαβὼν ἐπὶ τὴν ἑξῆς ὀκταετίαν κατὰ τὸν ἴσον ἀριθμὸν τῆς ἰδίας περιόδου, κίνησιν εἰκότως τῶν σπερματικῶν πόρων ἐμποιεῖν ἄρχεται, καὶ τὴν πλήρωσιν αὐτῶν καὶ ὁρμὴν, ἐπὶ τὴν τῶν ἀφροδισίων συνέλευσιν, ὅτε μάλιστα λύσσα τις γίνεται καὶ ἀκρασία, καὶ πρὸς τὰ τυχόντα τῶν ἀφροδισίων, ἔρως καὶ φλεγμονὴ καὶ ἀπάτη καὶ τοῦ βλέποντος ἀβλεψία. τὴν δὲ τετάρτην καὶ μέσην τῇ τάξει ἡλικίαν τὴν νεανικὴν, λαβὼν ὁ τῆς μέσης σφαίρας ☉ ἐπὶ τὰ τῆς ἐννεακαιδεκαετηρίδος, ἐν ᾗ τὸ δεσποτικὸν ἤδη καὶ τὸ αὐθεντικὸν τῶν πράξεων ἐμποιεῖ ψυχῇ βίου τε καὶ δόξης, καὶ καταστάσεως ἐπιθυμίαν καὶ μετάβασιν ἀπὸ τῶν παιγνιωδῶν καὶ ἀκαταστάτων πλαστῶν ἁμαρτημάτων, ἐπὶ τὸ *προσεκτικὸν, καὶ αἰδήμον καὶ φιλότιμον. Μετὰ δὲ τὸν ☉ ὁ τοῦ ♂ πέμπτος, ἐπιλαβὼν τῆς ἡλικίας ἀνδρώδες ἐπὶ τὰ ἴσα τῆς τῆς ἡλικίας περιόδου πεντεκαίδεκα ἔτη, τὸ αὐστηρὸν καὶ κακόπαθον εἰσάγει τοῦ βίου, μερίμνας τε καὶ σκυλμοὺς ἐμποιεῖ τῇ ψυχῇ καὶ τῷ σώματι. καθάπερ αἴσθησίν τινα ἤδη καὶ ἔννοιαν ἐνδιδοὺς τῆς παρακμῆς, καὶ ἐπιστρέφον πρὸς τὸ πρὶν ἐγγὺς ἐλθεῖν τοῦ τέλους, ἀνύσαι τι ἄξιον λόγου μετὰ πόνου τῶν καταχειριζομένων. ἕκτος δ᾽ ὁ τοῦ ♃ τὴν πρεσβυτικὴν λαχὼν ἡλικίαν, ἐπὶ τὴν τῆς ἰδίας περιόδου πάλιν δωδεκαετίαν, τὸ μὲν αὐτουργὸν καὶ ἐπίπονον καὶ ταραχῶδες, καὶ παρακεκινδυνευμένον τῶν πράξεων, ἀποστρέφεσθαι ποιεῖ, τὸ δὲ εὔσχημον καὶ προνοητικὸν καὶ ἀνακεχωρηκὸς, ἔτι δὲ ἐπιλογιστικὸν πάντων καὶ νουθετικὸν καὶ παραμυθητικὸν ἀντεισάγει, τιμῆς τότε μάλιστα, καὶ ἐπαίνου καὶ ἐλευθεριότητος ἀντιποιεῖσθαι παρασκευάζον μετ᾽ αἰδοῦς καὶ σεμνοτροπίας. τελευταῖος δὲ ὁ τοῦ ♄, ἐσχάτην καὶ γεροντικὴν ἡλικίαν ἀποκληρώθη, μέχρι τῶν ἐπιλοίπων τῆς ζωῆς χρόνων, καταψυχομένων ἤδη καὶ ἐμποδιζομένων τῶν τε σωματικῶν καὶ ψυχικῶν κινήσεων, ἔν τε ὁρμαῖς καὶ ἀπολαύσεσι καὶ ἐπιθυμίαις ταχείας τῇ φύσει παρακμῆς ἐπιγινομένης, τῷ βίῳ κατεσκληκότι, καὶ ἀθύμῳ καὶ ἀσθενικῷ, καὶ εὐπροσκόπῳ καὶ πρὸς πάντας δυσαρέστῳ, καὶ κατὰ τὸ οἰκεῖον τῆς τῶν κινήσεων νωχελίας. αἱ μὲν οὖν κατὰ τὸ κοινὸν καὶ καθόλου τῆς φύσεως θεωρούμεναι τῶν χρόνων ἰδιοτροπίαι τοῦτον

τὸν τρόπον